www.tezaurliturgic.ro

ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΕΝΔΟΞΟΝ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΝ

# ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΑ ΕΥΦΗΜΙΑΝ

Συντεθεὶς ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

1993

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΕΝΔΟΞΟΝ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΝ ΠΑΡΘΕΝΟΜΑΡΤΥΡΑ ΕΥΦΗΜΙΑΝ

*Μετὰ τό, Εὐλογητός λέγομεν τό, Κύριε εἰσάκουσον, Θεὸς Κύριος καὶ τὰ Τροπάρια.*

Ἦχος δ'. Ὁ ὑψωθείς.

Τὴν καλλιπάρθενον Χριστοῦ Εὐφημίαν, ὡς τῶν φρονίμων καὶ σωφρόνων παρθένων, ἐκμίμημα καὶ καύχημα τοῦ γένους γυναικῶν, πόθῳ ἱκετεύομεν, ὅπως σαῖς ἱκεσίαις, λυτρωθῶμεν ἅπαντες, τοῦ ἐχθροῦ τῶν παγίδων· τὴν παρρησίαν ἔχουσα σεμνή, ἀεὶ δυσώπει, ὑπὲρ τῶν τιμώντων σε.

*Δόξα, τὸ αὐτό.*

Καὶ νῦν. Θεοτοκίον, Οὐ σιωπήσομεν ποτέ....

**Ὁ Ν', Ἐλέησόν με...μεθ᾽ὅν ὁ Κανὼν, οὗ ἡ ἀκροστιχίς:**

*« Τῇ Πανευφήμῳ δέησις ἐκ πόθου Εὐφημίᾳ. Ἀ(θανάσιος)*

Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ὑγρὰν διοδεύσας.

Τὸν νοῦν μου καθάρισον λογισμῶν, παρθένε καὶ δεῖξον, ἐργαστήριον διαρκές, εὐχῆς καὶ ἀγάπης τοῦ Κυρίου, ὅπως εὐφήμως σεμνὴ μακαρίζω σε.

Ἠνδρίσω δυνάμει τοῦ Ἰησοῦ, καὶ ὡς μέγας γίγας, ἀπηνεύρωσας τὸν ἐχθρόν, διὸ Χριστομάρτυς ἀθληφόρε, ἐν τῷ πολέμῳ νικᾶν με ἐνίσχυσον.

Πορείαν ἐτέλεσας τὴν καλήν, Χριστὸν ἐφευροῦσα, τὴν ὁδὸν τὴν παρεκτικήν, ζωῆς τῆς ἀλήκτου θεία Μάρτυς, ἥν με βαδίζειν ὡς σὺ καταξίωσον.

Θεοτοκίον

Ἁγνείας θησαύρισμα καὶ παντός, Θεόνυμφε Μῆτερ, ὡς ὑπάρχουσα ἀγαθοῦ, Υἱῷ σου με σύναψον διψῶντα, τὴν μετ᾽ Αὐτοῦ ἀδιάστατον ἕνωσιν.

Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ναοῦ θείου ἐτέθης, πολυτελὲς ἔρεισμα, ἐκ τῆς Χαλκηδόνος τῆς κάτω, λίθος ὁμώνυμος, τῆς Ἄνω Πόλεως, ὦ παγκαλλὴς Εὐφημία, ἧς με καταξίωσον, εὐχαῖς ἁγίαις σου.

Ἐφυστέρησας Μάρτυς, ἐν οὐδενὶ ἄθλῳ σου, τῆς ἀρρενικῆς εὐψυχίας, γυνὴ τῷ σώματι, ὅθεν κραυγάζω σοι, ἀρρένωσον τὴν ψυχήν μου, ὅπως ὑπεραίρωμαι, τοῦ ἀντιδίκου μου.

Ὑλικαῖς οὐ προσέσχες, ὁλοσχερῶς δόσεσιν, αἷς οἱ τοῦ ἐχθροῦ ὑπηρέται, ἐδόκουν πεῖσαί σε, ἵνα τὸν Κύριον, ἐγκαταλίπης Ἁγία, πρὸς Ὅν με οἰκείωσον, θείαις πρεσβείαις σου.

Θεοτοκίον

Φῶς ὑπάρχων ἁπάσης, τῆς νοερᾶς κτίσεως, ὁ ἐκ σοῦ τεχθεὶς Παναγία, ψυχὴν φωτίζοι μου, ὥσπερ ἐφώτισε, τὴν παμφαῆ Εὐφημίαν, τοῦ φωτὶ πορεύεσθαι, τρίβους τοῦ βίου μου.

Διάσωσον, ἀπὸ παντοίων κινδύνων τοὺς πόθῳ σε εὐφημοῦντας, Εὐφημία σεμνὴ καλλιπάρθενε, καὶ λύτρωσαι ἡμῶν ψυχάς, τῶν βελίαρ παγίδων.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος β΄. Πρεσβεία θερμή.

Καὶ νοῦν καὶ ψυχήν, καὶ σῶμά σου παρέδωκας, θυσίαν Χριστῷ, παρθένε ὅθεν εἴληφας, παρ᾽ Αὐτοῦ Εὐφημία τὸν στέφανον, διὸ κινδυνεύοντας ἡμᾶς, μνημόνευε Πανεύφημε.

## Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.

Ἡ σεπτὴ μαρτυρία σου, ὄφιν τὸν ἀρχέκακον ἐθανάτωσεν, ἡ ἰσχὺς δὲ ἱκεσίας σου, γένοιτό μοι Μάρτυς ζωῆς πρόξενος.

Μανιώδει οὐκ ἔθυσας, Ἄρει μιαιφόνῳ εἰρήνης οἴκημα, τῆς Χριστοῦ ἥν μοι καὶ δώρησαι, Εὐφημία πάσας τὰς ἡμέρας μου.

Ὥσπερ προῖκα προσήνεγκας, τὴν πεντηκοντάδα τῶν συμμαρτύρων σου, τῷ Κυρίῳ μεγαλώνυμε, ὧν κἀμὲ μερίδος δεῖξον μέτοχον.

## Θεοτοκίον

Διὰ σοῦ Παναμώμητε, ὤφθη τοῖς ἀνθρώποις τὸ μέγα ἔλεος, Ἰησοῦς ὁ ὑπεράγαθος, ὅθεν γενεαὶ Σὲ μεγαλύνομεν.

## Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.

Εὗρες τὸν μισθόν, τῶν βασάνων σου Πανεύφημε, καὶ ἀντὶ αἵματος τὸ Πνεῦμα εἴληφας, ὅ μοι παράσχοις, ταῖς ἁγίαις ἱκεσίαις σου.

Ἤρθης ὡς χρυσός, ἐκ καμίνου δοκιμώτερος, καὶ βόθρῳ Μάρτυς τὸν σατὰν ἐβύθισας, οὗ τῶν παγίδων, ὅσον τάχιστα λυτρώσαις με .

Σύντριμμα δεινόν, ῥαβδισμῷ σου ἐναπέδειξας, τὸν πολεμοῦντά σε παρθένε ἁγνή, τούτου ἐπάρσεις, καταξίωσον συντρίβειν με.

## Θεοτοκίον

Ἵλεων Χριστόν, Θεοτόκε ἀπεργάσαις μοι, ὅτι συσφίγγομαι ἐν πταίσμασι πολλοῖς, ἁμαρτιῶν μου, καὶ ἐλέους οὖν πῶς τεύξομαι;

Ὠιδὴ στ'. Τὴν δέησιν ἐκχεῶ.

Συνήγειρας, τῶν ἀγγέλων τάγματα, τῇ εὐτόνῳ καὶ σεπτῇ μαρτυρίᾳ, ὅθεν οἰκεῖς, μετὰ τούτων Ἁγία, καὶ ἀπολαύεις Χριστοῦ Ὧι ἐνήθλησας, ἱκέτευε ὑπὲρ ἡμῶν, τῶν πιστῶς προσπιπτόντων τῇ σκέπῃ σου.

Ἐβάστασαν, Ἀθληφόρε σῶμά σου, τὸ ἁγνὸν ἐν κολυμβήθρᾳ αἱ φῶκαι, ὅτι ὀσμή, ἀγαπήσεως θείας, πᾶσαν τὴν φύσιν δαμάζει τὴν ἄλογον, δαμάσαις ὅθεν τῶν παθῶν, τῆς ψυχῆς μου τοὺς θῆρας Πανεύφημε.

Κατέπληξας, Ἐκκλησίαν ἅπασαν, Εὐφημία τοῖς κλεινοῖς σου ἀγῶσι, καὶ τῇ σεπτῇ, τελευτῇ δι᾽ ἧς ἔστης, σὺν ταῖς φρονίμοις παρθένοις ἐνώπιον, Νυμφίου σου τοῦ ἐκλεκτοῦ, Ὧι καμὲ συναρμόσαις σοῦ δέομαι.

Θεοτοκίον

Πανύμνητε, τῶν Μαρτύρων γλύκασμα, καὶ ψυχῶν ἐκζητουσῶν χαρμοσύνη, τὸν σὸν Υἱόν, ὅταν κρίνῃ τὸν κόσμον, τῆς σῳζομένων μερίδος ἀξίωσον, κἀμὲ λιταῖς σου μητρικαῖς, ὅπως χαίρων δοξάζω τὴν δόξαν σου.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς πόθῳ σε εὐφημοῦντας, Εὐφημία σεμνὴ καλλιπάρθενε, καὶ λύτρωσαι ἡμῶν ψυχάς, τῶν βελίαρ παγίδων.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.

Πανευφήμους ᾠδὰς σεμνή σοι προσάγοντας, ἱλεώσαις Χριστῷ, πολλὰ ἁμαρτάνοντας, καὶ γὰρ ἔχεις, τὴν παρρησίαν ἐξ ἀγώνων σου πολλήν, διό, χρῆσαι ταύτῃ ἐκτενῶς, εἰς ἐπιστήριξιν ψυχῶν, τῶν ἐκ πόθου βοώντων σοι· πρόφθασον Εὐφημία, δείχθητι ἡμῖν τεῖχος, κατὰ ἐχθροῦ τοῦ νοητοῦ, ὅν κατάργησαι πολύαθλε.

Προκείμενον· Δίκαιος ὡς φοῖνιξ ἀνθήσει......
Στίχος· *Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου...*

**ΕΥΑΓΓΕΛΙΟΝ**

*Ἐκ τοῦ κατὰ Ματθαῖον* (κεφ. κε', 1 - 13 )

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ Βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ αἱ πέντε μωραί. Αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν, οὐκ ἔλαβον μεθ᾿ ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδού, ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· Μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν. Πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ᾿ αὐτοῦ εἰς τοὺς γάμους καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

*Δόξα. Ταῖς τῆς Πολυάθλου.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Καὶ νῦν .Ταῖς τῆς Θεοτόκου.*

Στίχ. *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

*καὶ τὸ Προσόμοιον.*

Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.

Ὅλην σου τὴν ἔφεσιν, ὡς ᾀσματίζουσα νύμφη, πρὸς Χριστὸν κατεύθυνας, κάλλει ὑπερβαίνοντα βροτοὺς ἅπαντας· καὶ ψυχὴν ἤνδρισας, τῇ δυνάμει Πνεύματος, τοῦ Ἁγίου καλλιπάρθενε, ὅθεν κατήργησας, πάντα τοῦ ἐχθροῦ τὰ κινήματα, καὶ στέφος τὸ οὐράνιον, εἴληφας Μαρτύρων τρισόλβιε· σκήνους δέ σου θείου, τὸ ἄφθορον εἰς πίστωσιν πολλῆς, ἥν πρὸς Θεοῦ εὗρες Χάριτος, Εὐφημία πάνσεμνε.

*Σῶσον ὁ Θεός...κλπ.*

Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὁ τηρήσας σε σῴαν, ἐκ τῶν μαρτυρίου βασάνων Πανεύφημε, καθάπερ σοι βραβεῖον, σκήνους τὴν ἀφθαρσίαν, εἰς αἰῶνας δεδώρηται, ὅ νοερῶς προσκυνῶν, Τριάδα μεγαλύνω.

Θείᾳ χάριτι Μάρτυς, Χαλκηδόνος Συνόδου Τόμον ἐκύρωσας, χαρᾶς τὴν Ἐκκλησίαν, πληρώσασα ἀκούεις, εὐγνωμόνως τὴν αἴνεσιν, ὅθεν κἀμὲ δυσωπῶ, Ὀρθοδοξίᾳ τήρει.

Ὀπῆς μύρον ἐξῆλθεν, ὅτε σκήνωμά σου πυρὶ ἐπέρριψαν, ὅ αἵματι τιμίῳ, κεκέρασται παρέχον, ἀσθενοῦσιν ἰάματα, διὸ ψυχήν μου σφοδρῶς, νοσοῦσαν θεραπεύσαις.

Θεοτοκίον

῾Υλικῆς προσπαθείας, μάκρυνον Παρθένε τὸν νοῦν μου καὶ κάθαρον, ἁπάσης φαντασίας, τῇ μνήμῃ τοῦ Κυρίου, τοῦ γλυκαίνοντος ὕπαρξιν, πᾶσαν βροτείαν ῾Αγνή, ὅπως σε μεγαλύνω.

## ᾿Ωιδὴ η᾽. Τὸν Βασιλέα.

᾿Εν τῇ θαλάσσῃ, τὸ σκήνωμά σου ἐρρίφη, ἁγιάσαν φύσιν τῶν ὑδάτων, σὲ δέ μοι τιμῶντι, δακρύων ὕδωρ δῴης.

῾Υποδεχθεῖσα, τῇ φιλαδέλφῳ ἀγάπῃ, Γλυκερίας μάρτυρος ἐν Λήμνῳ, τὴν φιλαδελφίαν, ἐγκαίνισον ψυχῇ μου.

Φανερωθεῖσα, παραδοξότητι τρόπων, Κωνσταντινουπόλει σεμνὴ ἀνεκομίσθης, ἥν ἀεὶ φυλάττοις, σὲ πόθῳ προσκυνοῦσαν.

### Θεοτοκίον

᾿Ητίμασά σου, τὴν κλῆσιν ῎Αχραντε Μῆτερ, καὶ τὸ ἔνδυμα ἐρρύπωσα τοῦ γάμου, ὅθεν σαῖς πρεσβείαις, ψυχὴν ἀπόπλυνόν μου.

## ᾿Ωιδὴ θ᾽. Κυρίως Θεοτόκον.

Μὴ ὁ ὀλοθρευτής με, Μάρτυς κυριεύσῃ, φλιὰν ψυχῆς μου σῷ μύρῳ ἀσφάλισαι, ἵνα Κυρίου ἡ Χάρις, μόνη κατέχῃ με.

᾿Ιάτρευσον τὰ πάθη, τῶν σοι προσφευγόντων, Παρθενομάρτυς ψυχῆς καὶ τοῦ σώματος, οἴκους Κυρίου δεικνῦσα, ἡμᾶς καὶ ὄργανα.

᾿Αείποτε τὴν θύραν, κροῦε τῆς ψυχῆς μου, ὡς ἀσκητοῦ ἐν τῷ ῎Αθῳ Πανεύφημε, κελλίου θύραν ὀφθεῖσα, σεμνῶς ἐπέκρουσας.

### Θεοτοκίον

῎Αχραντε Θεοτόκε, ἅμα Εὐφημίᾳ, τῷ τῶν Μαρτύρων Παρθένων ἡδύσματι, τὴν ψυχικήν μου ἁγνείαν, σῴαν φυλάξατε.

*Ἄξιόν ἐστιν...*

καὶ τὰ Μεγαλυνάρια

Τὴν Παρθενομάρτυρα τοῦ Χριστοῦ, δεῦτε Εὐφημίαν, εὐφημήσωμεν ἐκ ψυχῆς, βρύει γὰρ θαυμάτων, ὡς δαψιλής τις βρύσις, τὴν χάριν τοῖς αἰτοῦσι, πλουσιοπάροχον.

Σκῆνός σου τὸ θεῖον καὶ ἱερόν, Μάρτυς Εὐφημία, προσκυνοῦμεν πανευλαβῶς, ὅπως σαῖς πρεσβείαις ληψώμεθα ἀφθόνως, τοῦ Πνεύματος τὴν Χάριν, ἥ σοι ἐνῴκησεν.

Τὴν Χριστοῦ Μεγάλην Μάρτυς σεμνή, Θείαν Ἐκκλησίαν, σκέποις πάντοτε σαῖς εὐχαῖς, Λείψανον τιμῶσαν, σὸν ἄφθαρτον καὶ μνήμην, ἐν ὕμνοις ἐτησίοις καταγεραίρουσαν.

Μάρτυρες Κυρίου πανευκλεεῖς, θεία Εὐφημία, Γλυκερία τε θαυμαστή, ἔρωτι τρωθεῖσαι τοῦ Ἰησοῦ καιρίως, ψυχαῖς ἡμῶν ἀγάπην, Τούτου ἐμβάλετε.

*Καὶ ἕν εἰδικὸν διὰ τὰς Εὐφημίας*

Εὐμοιροῦσα κλήσεως σῆς σεμνή, θεία Εὐφημία, σοὶ προσπίπτω καὶ ταπεινῶς, δέομαι εὐχαῖς σου, εὑρεῖν ὁμοθρονίαν, ἐν δόξῃ τοῦ νυμφῶνος· μὴ ἐπιλάθου μου.

*Πᾶσαι τῶν Ἀγγέλων...κλπ.*

*Ἐν δὲ τῇ Ἀπολύσει τὸ προσόμοιον.*

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.

Δεῦτε Εὐφημίας τῆς σεπτῆς, μαρτυρίου θείοις λειμῶσι κατατρυφήσαντες, τὸν Χριστὸν δοξάσωμεν, ταύτην δοξάσαντα, ὅπως λάβωμεν ἄφθονον, τοῦ Πνεύματος χάριν, καὶ τὸ πῦρ τὸ ἄϋλον

www.tezaurliturgic.ro


ψυχαῖς ἀνάψωμεν, φλέγον ἁμαρτίας τὴν ὕλην, καὶ τῆς Βασιλείας καινῖζον, τὸ οὐρανοπόθητον πολίτευμα.

*Δέσποινα Πρόσδεξαι...*

*Τὴν πᾶσαν ἐλπίδα μου...*

καί, Δι᾽ εὐχῶν.

## Στίχοι ἱκετικοί

*Τὴν εὐφημίαν ἐκ δυσφήμου καρδίας*
*ὡς χήρας δέξαι τὸ δίλεπτον, ὦ Μάρτυς.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ